Γέννηση της Υπεραγίας Θεοτόκου



Επισκεφτείτε τον ιστοχώρο μας στην διεύθυνση: http://www.saint.gr/955/saint.aspx για περισσότερες πληροφορίες για τον βίο (ονόματα, βίντεο, ακολουθίες, φωτογραφίες κτλ) καθώς και για τυχών ενημερώσεις - διορθώσεις.

Τελευταία ενημέρωση βιογραφίας: N/A
Δημιουργία εγγράφου: 11/11/2026 03:50:49

Σύνοψη

Τύπος εορτής: Εορτάζει στις 8 Σεπτεμβρίου εκάστου έτους.

Ημ/νια Βίου: N/A

Βιογραφία

Πάσας ἀληθῶς, Ἄννα, νικᾷς μητέρας,
Μήτηρ ἕως ἂν σὴ γένηται θυγάτηρ.
Ἐξάγαγε πρὸς φῶς Θεομήτορα ὀγδόῃ Ἄννα.

«Ἀποκάλυψον πρὸς Κύριον τὴν ὁδόν σου καὶ ἔλπισον ἐπ᾽ αὐτόν, καὶ αὐτὸς ποιήσει» (Ψαλμός λστ' στ. 5). Φανέρωσε στον Κύριο με εμπιστοσύνη το δρόμο και τις επιδιώξεις και τις ανάγκες της ζωής σου και έλπισε σ' Αυτόν και Αυτός θα κάνει εκείνα που ζητάς και χρειάζεσαι. Μ' αυτή την εμπιστοσύνη και ελπίδα, ο Ιωακείμ και η Άννα ικέτευαν προσευχόμενοι το Θεό να τους χαρίσει παιδί, να το έχουν γλυκεία παρηγοριά στα γεράματα της. Και την ελπίδα της ο Θεός έκανε πραγματικότητα. Της χάρισε την Παρθένο Μαριάμ, που ήταν ορισμένη να γεννήσει το Σωτήρα του κόσμου και να λάμψει σαν η πιο ευλογημένη μεταξύ των γυναικών. Ήταν εκείνη, από την οποία έμελλε να προέλθει Αυτός που θα συνέτριβε την κεφαλή του νοητού όφεως. Στην Παλαιά Διαθήκη δόθηκαν της προτυπώσεις της Υπεραγίας Θεοτόκου. Μία είναι και η βάτος στο Σινά, την οποία ενώ είχαν περιζώσει φλόγες φωτιάς, αυτή δεν καιγόταν. Ήταν απεικόνιση της Παρθένου, που θα γεννούσε το Σωτήρα Χριστό και συγχρόνως θα διατηρούσε την παρθενία της. Έτσι, η Άννα και ο Ιωακείμ, που ήταν από το γένος του Δαβίδ, με την κραταιά ελπίδα που είχαν στο Θεό απέκτησαν απ' Αυτόν το επιθυμητό δώρο, που θα συντροφεύει τον κόσμο μέχρι συντέλειας αιώνων.

Λειτουργικά κείμενα

Ἀπολυτίκιον

Ἦχος δ’.

Ἡ γέννησίς σου Θεοτόκε, χαρὰν ἐμήνυσε πάσῃ τῇ οἰκουμένῃ, ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν, καὶ λύσας τὴν κατάραν, ἔδωκε τὴν εὐλογίαν, καὶ καταργήσας τὸν θάνατον, ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον.

Κοντάκιον

Ἦχος δ’. Αὐτόμελον.

Ἰωακεὶμ καὶ Ἄννα ὀνειδισμοῦ ἀτεκνίας, καὶ Ἀδὰμ καὶ Εὔα, ἐκ τῆς φθορᾶς τοῦ θανάτου, ἠλευθερώθησαν, Ἄχραντε, ἐν τῇ ἁγίᾳ γεννήσει σου, αὐτὴν ἑορτάζει καὶ ὁ λαός σου, ἐνοχῆς τῶν πταισμάτων, λυτρωθεὶς ἐν τῷ κράζειν σοι· Ἡ Στεῖρα τίκτει τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

Ὁ Οἶκος

Ἡ προσευχὴ ὁμοῦ καὶ στεναγμός, τῆς στειρώσεως καὶ ἀτεκνώσεως Ἰωακείμ τε καὶ Ἄννης, εὐπρόσδεκτος, καὶ εἰς τὰ ὦτα Κυρίου ἐλήλυθε, καὶ ἐβλάστησαν καρπὸν ζωηφόρον τῷ κόσμῳ· ὁ μὲν γὰρ προσευχὴν ἐν τῷ ὄρει ἐτέλει, ἡ δὲ ἐν παραδείσῳ ὄνειδος φέρει· ἀλλὰ μετὰ χαράς, ἡ στεῖρα τίκτει τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

Κάθισμα

Ἦχος δ’. Κατεπλάγη Ἰωσὴφ.

Ἀναβόησον Δαυΐδ, τὶ ὤμοσέ σοι ὁ Θεός; Ἃ μοι ὤμοσε φησί, καὶ ἐκπεπλήρωκεν ἰδού, ἐκ τοῦ καρποῦ τῆς κοιλίας μου δοὺς τὴν Παρθένον· ἐξ ἧς ὁ πλαστουργός, Χριστός ὁ νέος Ἀδάμ, ἐτέχθη βασιλεύς, ἐπὶ τοῦ θρόνου μου· καὶ βασιλεύει σήμερον, ὁ ἔχων τὴν βασιλείαν ἀσάλευτον. Ἡ στεῖρα τίκτει, τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

Ἕτερον Κάθισμα

Ἦχος δ’. Κατεπλάγη Ἰωσὴφ.

Ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἐξ ὀσφύος τοῦ Δαυΐδ, ἡ θεόπαις Μαριάμ, τίκτεται σήμερον ἡμῖν, καὶ νεουργεῖται, ἡ σύμπασα καὶ θεουργεῖται. Συγχάρητε ὁμοῦ, ὁ οὐρανός καὶ ἡ γῆ· αἰνέσατε αὐτήν, αἱ πατριαὶ τῶν ἐθνῶν, Ἰωακεὶμ εὐφραίνεται, καὶ Ἄννα πανηγυρίζει κραυγάζουσα· Ἡ στεῖρα τίκτει, τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

Ἕτερον Κάθισμα

Ἦχος πλ. δ’. Τὸ προσταχθὲν μυστικῶς.

Ἀγαλλιάσθω οὐρανός, γῆ εὐφραινέσθω· ὁ τοῦ Θεοῦ γὰρ οὐρανός, ἐν γῇ ἐτέχθη, ἡ Θεόνυμφος αὕτη ἐξ ἐπαγγελίας. Ἡ στεῖρα βρέφος θηλάζει τὴν Μαριὰμ· καὶ χαίρει ἐπὶ τῷ τόκῳ Ἰωακείμ. Ῥάβδος λέγων ἐτέχθη μοι, ἐξ ἧς τὸ ἄνθος Χριστός, ἐβλάστησεν ἐκ ῥίζης Δαυΐδ. Ὄντως θαῦμα παράδοξον!

Ἕτερον Κάθισμα

Ἦχος δ’. Κατεπλάγη Ἰωσὴφ.

Ἡ Παρθένος Μαριάμ, καὶ Θεοτόκος ἀληθῶς, ὡς νεφέλη τοῦ φωτός, σήμερον ἔλαμψεν ἡμῖν, καὶ ἐκ Δικαίων προέρχεται εἰς δόξαν ἡμῶν. Οὐκ ἔτι ὁ Ἀδὰμ κατακρίνεται· ἡ Εὔα τῶν δεσμῶν ἠλευθέρωται· καὶ διὰ τοῦτο κράζομεν βοῶντες, ἐν παρρησίᾳ τῇ μόνῃ Ἀγνῇ· Χαρὰν μηνύει, ἡ γέννησίς σου, πάσῃ τῇ οἰκουμένῃ.

Αγιογραφίες / Φωτογραφίες



Γέννηση της Υπεραγίας Θεοτόκου



Γέννηση της Υπεραγίας Θεοτόκου



Γέννηση της Υπεραγίας Θεοτόκου



Γέννηση της Υπεραγίας Θεοτόκου



Γέννηση της Υπεραγίας Θεοτόκου



Γέννηση της Υπεραγίας Θεοτόκου - Πηνελόπη Σχιζοδήμου© (www.poppe.gr)



Γέννηση της Υπεραγίας Θεοτόκου - Φώτης Κόντογλου

Οπτικοακουστικό Υλικό



Ακούστε το απολυτίκιο!



Ακούστε το απολυτίκιο!